## ΑΝΘΗ ΕΟΡΤΑΣΤΙΚΩΝ ΛΟΓΩΝ ΕΙΣ ΤΑ ΑΓΙΑ ΧΡΙΣΤΟΥΓΕΝΝΑ

Ἡ Παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει…

Ὦ! Φαιδρὰ πανήγυρις καὶ ἱερὰ πανδαισία, Δεῦτε μεθέξωμεν!

Τὰ σύμπαντα χαρᾶς πληροῦνται!

Ὁ Λόγος σάρξ ἐγένετο. Ὢ μυστήριον ξένον καὶ θαυμαστόν!

Ἐτέχθη ἡμῖν Σωτήρ. Δεῦτε λάβωμεν τὰ τοῦ παραδείσου ἐντὸς τοῦ σπηλαίου· δόξα τῇ συγκαταβάσει Σου, Κύριε Παμβασιλεῦ, Ἄνοιξον τὸ στόμα ἡμῶν τῶν ἁμαρτωλῶν, διὰ νὰ σὲ ὑμνοῦμεν.

Μεθ᾽ἡμῶν ὁ Θεός! Θεὸς τὸ τεχθέν, ἡ δὲ μήτηρ Παρθένος, τί ἄλλο μεῖζον καινὸν εἶδε ἡ κτίσις;

Ἀντὶ τοῦ ἡλίου τὸν Ἥλιον τῆς Δικαιοσύνης βλέπω χωρήσαντα ἀπεριγράπτως εἰς τὴν Παρθένον. Μὴ ζήτει τὸ πῶς, ὅπου γὰρ βούλεται Θεός, νικᾶται φύσεως τάξις. Ἠθέλησε κατῆλθε καὶ ἔσωσε.

Σιγησάτω πᾶσα σάρξ βροτεία καὶ στῆθι μετὰ φόβου καὶ τρόμου καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω. Θεὸς σήμερον ὁ Ὢν καὶ προὼν γίνεται ἄνθρωπος! ὁ Λόγος, γεννηθεὶς πρὸς αἰώνων ἐκ τοῦ Πατρός, σήμερον ἐκ τῆς Παρθένου, ἐτέθη ὑπὲρ φύσιν. Ὁ παλαιὸς τῶν ἡμερῶν παιδίον γέγονε. Νέον βρέφος ἐξ ὄρους τῆς Παρθένου, ἐξῆλθε Λόγος, εἰς ἀνάπλασιν λαῶν. Ὁ ἐπὶ θρόνου καθήμενος, ἐν φάτνῃ τίθεται. ὁ ἀσώματος, ὁ διασπῶν τὰ δεσμὰ τῆς ἁμαρτίας ἐμπλέκεται εἰς σπάργανα, ἐπειδὴ τοῦτο θέλει. Ἔτεκε ἡ Παρθένος τὸν Δεσπότην τῆς φύσεως, ὡς ὁ τεχθεὶς ἠθέλησε τεχθῆναι. Ὡς Θεός, ξένον τρόπον γεννήσεως εἰσήγαγε. Ἐκ Παρθένου τίκτεται καὶ τὴν παρθενίαν ἄλυτον φυλάττει, γιὰ νὰ γίνῃ εἰς ἡμᾶς ὁ ξένος τρόπος τῆς γεννήσεως πρόξενος μεγάλης πίστεως. Ὁ ἀρχάγγ. Γαβριὴλ εἰς τὸν Εὐαγγελισμὸν εἶπεν: «Ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ Υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν» καὶ εἶπε Μαριάμ: «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι».

Εἰσῆλθεν ἄσαρκος ὁ Λόγος τοῦ Θεοῦ, ἐκυοφορήθη ἐννεαμηναῖον χρόνον ἐν τῇ κοιλίᾳ τῆς Παρθένου. Εἰσῆλθε ὡς ἠθέλησε, ἐκυοφορήθη ὡς ηὐδόκησε. Οὐ λέγομεν δύο υἱούς, ἀλλ᾽ἕνα καὶ τὸν αὐτὸν νοοῦμεν τὸν Λόγον τοῦ Θεοῦ καὶ τὸν Κύριον Ἡμῶν Ἰησοῦν Χριστόν.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ Λόγος. Ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Ἐσκήνωσε δηλ. συνανεστράφη ἡμῖν, διότι λέγει ὁ προφήτης Βαρούχ Οὗτος ὁ Θεὸς ἡμῶν

οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ κὰι Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ᾽ αὐτοῦ. Μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη»

Νυγεὶς ἐγὼ δέ, τῷ βέλει τοῦ τυραννοῦντος (διαβόλου), προσαυδῶ (=ψάλλω) εἰς σὲ Χριστέ, τὸν ἀναιρέτην τῶν κακῶν.

« Ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει Κύριος Παντοκράτωρ… » (Ναοὺμ).

« Ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἔθνη…» (Ἀγγαῖος)

« Ἐγνώρισε Κύριος τὸ Σωτήριον Αὐτοῦ, ἀλλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ» (Ψ. 97) «Ὀφθήσεται ὁ Θεὸς ἐν Σιών… ἐπίβλεψον εἰς τὸν πρόσωπον τοῦ Χριστοῦ σου» (Ψ.83).

Πρὸ τοῦ συλληφθῆναι ἐν μήτρα Θεὸς ἐκλήθη τὸ παιδίον, «Μεθ᾽ ἡμῶν ὁ Θεός». Ἆρα Θεοτόκος ἡ Ἁγία Παρθένος Μαρία!! Τὸ παιδίον πρὸ αἰώνων ὑπῆρχε, αὐτὸ τοὺς αἰῶνας ἐποίησεν, αὐτὸ Δημιουργὸς πάσης τῆς κτίσεως. Ὁ εὐαγγελιστὴς Ἰωάννης, λέγει: «Πάντα δι᾽ αὐτοῦ ἐγέντο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν». … ἐν τῇ κοιλίᾳ τῆς Παρθένου ἦτο, ἀλλὰ ὑπὸ τῶν ἄνω Δυνάμεων ἐδοξολογεῖτο καὶ ἐπροσκυνεῖτο. Αὐτὸ (τὸ παδίον) τὰ πάντα ἐζωοποιοῦσε. Ὁ Ἡσαΐας βοᾷ : «Παιδίον ἐγεννήθη ἡμῖν Υἱὸς καὶ ἐδόθη ἡμῖν, ……καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, Μεγάλης Βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς Ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος». Ὁ προφήτης Δαυΐδ ἀνακράζει: «ἐκεῖ ἐξανατελλῶ κέρας τῷ Δαυΐδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου» Ψαλ. 131. «Ἐκεῖ δηλ. εἰς Βηθλεέμ». Εἰς Β' Βασιλ. γράφει: «ἀναστήσω τὸ σπέρμα Δαυΐδ, ὃς οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον Αὐτοῦ εἰς τὸν αἰῶνα» (Σπέρμα Δαυΐδ= ὁ Κή. Ἰ. Χ.). Κύριος συνέτριψε πύλας χαλκᾶς… ἀπέστειλε τὸν Λόγον αὐτοῦ καὶ ἰάσατο αὐτοὺς" (Ψαλμ. 106). Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν ἀνέτειλε τῷ κόσμῳ τὸ Φῶς τὸ τῆς γνώσεως. Δόξα σοι, Ζωοδότα……

«Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σου Σιών… ὁ ἀποστέλων τὸν Λόγον αὐτοῦ τῇ γῇ». Ψαλμ. 147)

Ἀνέτειλας Χριστὲ ἐκ Παρθένου, νοητὲ ἥλιε τῆς Δικαιοσύνης καὶ ἀστὴρ σὲ ὑπέδειξεν, ἐν σπηλαίῳ χωρούμενον τὸν ἀχώρητον.

Καὶ ὁ Προφήτης Ἀμώς, τὸν Χριστὸν ὀνομαστὶ προφητεύει : Ἑτοιμάζου τοῦ ἐπικαλεῖσθε τὸν Θεὸν Ἰσραήλ, διότι ὁ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ κ.λ.π.»

«Αὕτη ἡ βίβλος τῶν προσταγμάτων τοῦ Θεοῦ καὶ ὁ νόμος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα. Πάντες οἱ κρατοῦντες αὐτήν, εἰς ζωήν, οἱ δὲ καταλειπόντες αὐτὴν ἀποθανοῦνται.» (Βαρούχ) (βίβλος δηλ. ὅτι ἐπὶ γῆς ὤφθη ὁ Θεός, Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ ὁ Θεός· οἱ τηροῦντες τὰς ἐντολὰς αὐτοῦ κληρονομοῦσι τὴν Βασιλείαν τοῦ Οὐρανῶν οἱ δὲ ἀσεβεῖς εἰς κόλασιν αἰώνιον. «Ἐπιστράφου καὶ ἐπιλαβοῦ αὐτῆς (ζωῆς δηλ. Χριστοῦ) … μὴ δῷς ἑτέρῳ τὴν δόξαν σου καὶ τὰ συμφέροντα σου ἔθνει ἀλλοτρίῳ. (=ἀπομάκρυνον ἑαυτὸν ἀπὸ τοὺς αἱρετικούς). Μακάριοι ἐσμὲν Ἐσραλήκ, ὅτι τὰ ἀρεστὰ τῷ Θεῷ γνωστὰ ἡμῖν ἐστί».

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ τῆς γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. Ἄγγελος πρὸς τοὺς ποιμένας λέγει: « Μὴ φεοβεῖσθε, ἰδοὺ γὰρ εὐαγγελίζομαι, χαρὰν μεγάλην, τις ἔσται παντὶ τῷ λαῷ ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτήρ, ὅς ἐστὶ Χριστὸς Κύριος. «Ὁ ἄγγελος Χριστὸν καὶ Κύριον λέγει, ἡμεῖς Χριστοτόκον καὶ Κυριοτόκον καὶ Σωτηριοτόκον καὶ Θεοτόκον τὴν Ἁγίαν Παρθένον!!! Δι᾽ἡμᾶς γὰρ ἐγεννήθη Παιδίον νέον ὁ πρὸ αἰώνων Θεός!

Ἐκένωσε ἑαυτὸν γενόμενος ὁ Λόγος καὶ ἄνθρωπος. Εἰσῆλθεν ἀσώματος, ἐνεδύσατο σῶμα καθὼς ἠθέλησε καὶ κατεπόθη τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

Ὁ Ἀπόστολος Πέτρος ἀποκριθεὶς εἶπε: «Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.» Ὅπου δὲ Κύριος ἐκεῖ καὶ Θεός. Οὐ χωρίζει τὸ Κύριος Θεοῦ ἢ Θεὸς Κυρίου. Λέγει εἰς Γένεσιν : «Ἔβρεξε Κύριος παρὰ Κυρίου» καὶ πάλιν: «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου» καὶ πάλιν «ἄκουε Ἰσραήλ, Κύριος ὁ Θεός σου, Κύριος ἐστί». καὶ Δαυΐδ: « Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.» καὶ ὁ ἀπόστολος Παῦλος« «Ἐπεφάνη ἡ Χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις παιδεύουσα ἡμᾶς ἵνα σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι…». Ἀλλὰ καὶ οἱ δαίμονες εἰς τὴν χώραν τῶν Γεργεσηνῶν ἔκραζον: «… τί ἡμῖν καὶ σοὶ Υἱὲ τοῦ Θεοῦ, ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; «Οἱ δαίμονες ἔφριξαν καὶ ἐτρόμαξαν, ἡμεῖς καταφρονῶμεν; «Ἐν ἐκείνη τῇ ἡμέρᾳ κατοικιᾷ αὐτοὺς ἐπ᾽ ἐλπίδι… καὶ ἐλεήσω τὴν Οὐκ-ἠλεημένην καὶ ἐρῶ τῷ Οὐ-λαῷ-μου· λαός μου εἰ σύ, καὶ ὁ λαός μου ἐρεῖ· Κύριος ὁ Θεός μου εἶ Σύ» (Ὠσηέ β'25). Εὐλογείτω πᾶσα κτίσις τον Κύριον καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας». Βοᾷ ὁ Προφήτης Ἀββακοὺμ «ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, σὺν Χριστῷ σου» (PG. 22, 317). Ἐν ὑψίστοις δόξα, τῷ γεννηθέντι ἀφράστως, ἐν Βηθλεέμ, ἐκ Παρθένου!!!

«Ἐν τίνι καταλάβω τὸν Κύριον; Κύριος ζητεῖ, τοῦ ποιεῖν Κρῖμα καὶ ἀγαπᾶν ἔλεος καὶ ἕτοιμον εἶναι πορεύεσθαι ὀπίσω Αὐτοῦ». (Μιχαίας στ'8)[1].

«Ἔσται ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ Ὄρος Κυρίου… ἐπ᾽ αὐτὸ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσι: «Δεῦτε ἀναβῶμεν εἰς τὸ Ὄρος Κυρίου καὶ εἰς τὸν Οἶκον τοῦ Θεοῦ… καὶ δείξουσι τὴν ὁδὸν αὐτοῦ. Ἐκ Σιὼν ἐξελεύσεται Νόμος καὶ Λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ» (Μιχαίας Δ'. 2).

«Ὁ ἐρχόμενος (ὁ Λόγος τοῦ Θεοῦ ὡς ἄνθρωπος ἐπὶ τῆς γῆς) ἥξει οὐ μὴ χρονίσει, ἐὰν ὑποστείληται (=ὡς ῥάθυμοι καὶ ἀνυπόμονοι…) οὐκ εὐδοκεῖ ἡ ψυχή μου, … ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται». (Ἀββακούμ Β'.3).

«Κύριε κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην … ἐν μέσῳ δύο ζωῶν γνωσθήσῃ… (Ἀββακ. Γ''. 2).

Ἂν καὶ ἡ Ὀρθόδοξος παράδοσις τὰ ζῶα βοοῦν καὶ ὄνον ἱστορεῖ ὡς ὁ προφ. Ἡσαΐας «βοῦς καὶ ὄνος ἔγνω τὸν κτησάμενον κ.λ.π. « Ὁ Χριστὸς ἐν μέσῳ δύο ζωῶν. Μιᾶς τῆς κατὰ Θεὸν ζωῆς, καὶ ἄλλης τῆς κατ᾽ ἄνθρωπον, τῆς μὲν θνητῆς, τῆς δὲ ἀθανάτου. Ἀμφοτέρων ὁ Κύριος διὰ πείρας ἐλθὼν λέγεται γνωσθῆναι, «ἐν μέσῳ δύο ζωῶν».

Ὦ! ἁγία Βηθλεέμ… ὅτι οὐ μόνον ἀπὸ τοῦ γεννηθέντος ἐν σπηλαίῳ ἡγιάσθης, ἀλλὰ καὶ ἀπὸ τοῦ αἵματος τῶν ἀδίκως θανατωθέντων νηπίων. Ἄφρων καὶ κακοῦργε Ἡρώδη, νόμος καὶ προφῆται, τὸν γεννηθέντα, Βασιλέα προεκήρυξαν! τί ταράσσεσαι; ; Οὐκ ἤκουσας τί λέγει Δαυΐδ; «μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν» καὶ τί τούτου ματαιότερον, ὅτι διώκεις τὸν ἀκατάληπτον;

Ὁ προφήτης Ἱερεμίας ἀναφωνεῖ: «Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς. Ραχὴλ κλαίοουσα τὰ τέκνα αὐτῆς κ.λ.π.»

Ὦ! μακαρίων νηπίων κατασφαζομένων!

Ὦ! αἱμάτων χεομένων ἀδίκως ἐπὶ τῆς γῆς…

Βηθλεέμ… Βηθλεέμ, ὅπου ἐγεννήθη Χριστὸς ὁ μέγας Βασιλεὺς τῶν Βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων !!!

---

[1] Τὸ συγκεκριμένο χωρίο στὶς νέες ἐκδόσεις εἶναι δαφορετικὸ ὡς ἑξῆς : «[8] εἰ ἀνηγγέλη σοι, ἄνθρωπε, τί καλόν; ἢ τί Κύριος ἐκζητεῖ παρὰ σοῦ ἀλλ᾽ ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾶν ἔλεον καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου Θεοῦ σου; -»

Ποῖον παιδίον κατὰ φύσιν τεχθέν, ἐγένετο Ἐξουσιαστής, Θεὸς Ἰσχυρός; Ποῖον παιδίον ἀστέρα καὶ μάγους ἐξ ἀνατολῶν ἔφερε πρὸς προσκύνησίν του, δεχόμενον δῶρα; Χρυσόν, ὡς βασιλεύς, λίβανον, ὡς Θεὸς καὶ σμύρναν, ὡς ἄνθρωπον διὰ τὸν ἐνταφιασμόν Του. Καὶ τὸ μέγιστον, ὁ Υἱὸς τοῦ Θεοῦ, υἱὸς ἀνθρώπου καὶ γίνεται καὶ πιστεύεται.

Ὢ ξένον καὶ παράδοξον!!! Ἄγγελοι μεγαλοφώνως ὑμνοῦσι, «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη…». Ὁ Λόγος σὰρξ ἐγένετο». Τὴν Θεότητα τοῦ Λόγου ὁ Χριστὸς ὀνομάζει Πνεῦμα Ἅγιον, τὴν δὲ ἀνθρωπότητα αὐτοῦ ὀνομάζει υἱὸν ἀνθρώπου, διότι λέγει: «νῦν ἐδοξάσθη ὁ υἱὸς ἀνθρώπου». Ὅσοι εἰς τὸ Πνεῦμα δηλ. τὴν Θεότητα βλασφημοῦντες ἔλεγον: «Ἐν βελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια», ὁ Κύριος λέγει: « Ἡ βλασφημία οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν, οὔτε ἐν τῷ μέλλοντι αἰῶνι.» Οὐκ εἶπε τῷ βλασφημήσαντι καὶ μετανοήσαντι, οὐκ ἀφεθήσεται, ἀλλὰ τῷ **βλαφημοῦντι δηλ.** εἰς αὐτὸν ποὺ ἐπιμένει εἰς τὴν βλασφημίαν, διότι οὐκ ἔστιν ἁμαρτία ἀσυγχώρητος, ἀπὸ τὸν Θεὸν, εἰς ὅσους μετανοοῦν ἀξίως.

Ὁ Λόγος σαρκοῦται καὶ τοῦ Πατρὸς οὐ χωρίζεται ……

« Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει» (Ἀββακ. Γ' .3 ). Θαιμὰν ἑρμηνεύεται α) συντέλεια δηλ. ὁ Θεὸς ἐπὶ συντελείᾳ τοῦ αἰῶνος καὶ ἐν ταύταις ταῖς ἡμέραις ὤφθη σαρκὶ ἐπὶ γῆς. β) Οὐρανὸς δηλ. ἐξ οὐρανοῦ ὁ Λόγος τοῦ Θεοῦ καὶ ἐξ ὄρους κατασκίου δασέως δηλ τῆς Θεοτόκου.

Τάδε λέγει Κύριος, ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη… γνώσεσθε ὅτι Κύριος ἀπέσταλκέ με» (Ζαχαρίας) Βλέπεις τί λέγει ; Δύο Κυρίους, τὸν ἀποστείλαντα καὶ τὸν ἀποστελλόμενον Λόγον τοῦ Θεοῦ».

«Ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλημ… καὶ τὸ ὄνομα αὐτοῦ κυκλοῦν πᾶσαν τὴν γῆν» (Ζαχαρίας) Ὕδωρ ζῶν= τὸ λογικὸν καὶ σωτήριον ποτὸν τῆς διδασκαλίας τοῦ Χριστοῦ, διότι πρὸς τὴν Σαμαρείτιδα ἔλεγε : «…ἔδωκεν ἂν σοὶ ὕδωρ ζῶν». (ὄνομα κυκλοῦν κ.λ.π.= τὸ κήρυγμα τῶν ἀποστόλων.)

«Εὐφράνθητι ἔρημος διψῶσα… ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου, … Ἰδοὺ ὁ Θεὸς ἥξει καὶ σώσει ἡμᾶς.» (Ἡσαΐας ). Ἔρημος=ἡ ἐξ ἐθνῶν ἐκκλησία. (ἥξει, ἐπὶ γῆς).

Ὁ Λόγος ἄνθρωπος γέγονε, μένων Θεὸς ἵνα καὶ ἄνθρωπος γενόμενος, Θεὸς πιστευθῇ καὶ σώζει τοὺς πιστεύοντας ἐν μορφῇ ἀνθρώπου. « Ἀνοικοδομήσω τὰ πεπτωκότα καὶ… ἀποσταλάξει τὰ ὄρη γλυκασμόν.» (Ἀμὼς Θ'. 13).

Ὁ Δημιουργὸς ἔγινε ἄνθρωπος εἰς ζωοποίησιν τοῦ ἀνθρώπου καὶ καθαίρεσιν τοῦ διαβόλου ὁ ὁποῖος νικώμενος καὶ αἰσχυνόμενος ἔλεγε : «Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ (δηλ. ἐξ ἀνθρώπων) διαβαίνων βία μετὰ ἰσχύος; ». Διὰ τοῦτο ἔλεγεν ὁ Κύριος: Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν».

Ἐπτώχευσε δι᾽ ἡμᾶς πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτίσωμεν. Πῶς ἐπτώχευσε ὁ Θεός, Ὅτι τὴν πτωχεύσασαν φύσιν ἐν ἑαυτῷ ἔλαβε, ὑπὲρ ἀνθρώπων πάσχουσαν καὶ ὑπὲρ ἀνθρώπους ὑπάρχουσαν.

«Ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς τὴν σωτηρίαν παρὰ τοῦ Θεοῦ ἡμῶν» (Ἡσαΐας ΝΒ' 10).

Μὴ εἴπης πῶς ὁ ἄσαρκος ἐγεννήθη. Ἔχω εἰπεῖν ἀπὸ τῆς Ἀγ. Γραφῆς ὅτι, ὡς ἀπαύγασμα ἀπὸ τῆς δόξης καὶ ὡς εἰκὼν ἀπὸ τοῦ πρωτοτύπου.

Τίνα τρόπον ἐν σαρκὶ ἡ Θεότης; Ὡς πῦρ ἐν σιδήρῳ. μέλας καὶ ψυχρὸς ὁ σίδηρος, ὅμως πυρακτωθεὶς λάμπει ὡς πῦρ καὶ δὲν καταψύχει τὴν φλόγα. Ἡ ἀνθρωπίνη σὰρξ τοῦ Κυρίου οὕτω μετέσχε τῆς Θεότητος. Ἐν σαρκὶ ὁ Θεὸς ἵνα ἀποκτείνῃ τὸν ἐμφωλεύσαντα θάνατον. Τί τὸ ἐργαστήριον τῆς οἰκονομίας ταύτης; Τὸ σῶμα Ἁγίας Παρθένου. Αἱ ἀρχαὶ τῆς γεννήσεως, ποῖαι ; Τὸ Πνεῦμα τὸ Ἅγιον καὶ ἡ Δύναμις τοῦ Ὑψίστου ὁ ἄγγελος λέγει εἰς Ἰωσήφ: «…τὸ γεννηθὲν ἐκ Πνεύματος Ἁγίου Οὐκ εἶπε τὸ «κυηθέν», ἀλλὰ τὸ «γεννηθέν». Τὸ κυοφορούμενον ἦτο τέλειος ἄνθρωπος εὐθὺς ἐξ ἀρχῆς, οὐ κατὰ μικρὸν μορφωθέν. Ἡ Μαρία καὶ ἐν τῷ ἁγιασμῷ τῆς Παρθενίας μένουσα καὶ τὴν εὐλογίαν τῆς τεκνογονίας κληρονομοῦσα. «Ἐκζητήσατέ με καὶ ζήσεσθε λέγει Κύριος» (Ἀμὼς Ε'. 4)

Ὁ Βαλαὰμ πάλαι, προφητεύων ἔλεγε :

«Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ».

Ἀκολουθοῦντες οἱ μάγοι τὸν ἀστέρα, ποὺ ἀκολουθοῦσε " ἐξαίσιον δρόμον" (κατὰ τὴν ὑμνολογίαν) δηλ. ἐκινεῖτο οὐχὶ κατὰ τὴν τάξιν, ἀλλὰ ἐκ βοῤῥᾶ πρὸς νότον, ἔφθασαν εἰς Ἱερουσαλήμ. Ὁ ἀστὴρ ἐκρύβη, ἐρωτήσαντες ἔμαθον, ὅτι «εἰς Βηθλεὲμ γενᾶται ὁ Χριστός».

Ὁ ἀστὴρ πάλι ἐφάνη. Ὢ τῶν θαυμασίων σου Κύριε… « Ἰδόντες οἱ μάγοι τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην»! ….. ἔστη ἄνωθεν τῆς οἰκίας ὅπου ἦτο τὸ νεογέννητο. Προσεκύνησαν δίδοντας τὰ δῶρα των.

« Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει ἴδετε Φῶς μέγα καὶ τοῖς καθημένοις ἐν σκότει καὶ σκιᾷ θανάτου Φῶς ἀνέτειλεν» (Ἡσαΐας. Θ'2 &

Ματθ. Δ'16) καὶ ὁ προφήτης Ἀβδιοῦ (Α',17) λέγει : «Ἐν τῷ ὄρει Σιὼν ἔσται ἡ σωτηρία».

«Κατακλιθεὶς ὡς λέων καὶ σκύμνος ἀνεπαύσατο τίς ἀναστήσει Αὐτόν; ». (Γεν. ΜΘ'9). Διὰ μὲν τοῦ λέοντος δεικνύει ἡ Γραφή, τὸ βασιλικόν, διὰ δὲ τῆς κατακλίσεως, τὸ ΠΑΘΟΣ , τὸν ΣΤΑΥΡΟΝ καὶ τὴν εἰς ᾅδου ΚΑΘΟΔΟΝ.

«Ὁ ἀδύνατος λεγέτω, ὅτι ἰσχύω ἐγώ». (Ἰωήλ δ', 10). Μνημονεύοντες Ἰησοῦν Χριστὸν Ἐσταυρωμένον ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ λέγομεν τὸ τοῦ Ἀποστόλου: «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντι μοι Χριστῷ». Οὐδὲν γὰρ ἀδύνατον εἰς Σὲ Ὑπεραγία Θεοτόκε!! «Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη.» (Ματθ. ε'14)

Ἐδῶ τὸ μετέωρον καὶ ὑψιπετὲς τοῦ πολιτεύματος τῆς Ἐκκλησίας φανεροῦται. Ἀλλὰ καὶ ἡ Πόλις τοῦ Θεοῦ κατὰ τὴν ὑμνολογίαν, πρὸς τὴν πόλιν Βηθλεὲμ ἔρχεται «ἔμβρυον φέρουσα Χρσιτόν. Οὐδὲν ἀδύνατον τῇ μεσιτείᾳ Σου, Ὦ Μῆτερ ἁγνὴ τοῦ Λόγου, ἐπαξίως εὐλογοῦμεν, σὴν γαστέρα. Ἔτεκες τὴν ὄντως Χαράν. Αὐτὴν τὴν χαρὰν εὐαγγελίζονται ἄγγελοι εἰς τοὺς ποιμένας, μετὰ μάγων προσκυνήσωμεν, μετὰ ποιμένων δοξάσωμεν, μετὰ ἀγγέλων χορεύσωμεν, «ὅτι ἐτέχθη ἡμῖν σήμερον Σωτήρ» ἦλθε ἵνα ἐλευθερώσῃ τὸ δουλοθέν. Κοινὴ ἑορτὴ πάσης τῆς κτίσεως, αὕτη δωρεῖται τὰ ὑπερκόσμια. Ἑορτάσωμεν τὴν γενέθλιον ἡμέρα τῆς ἀνθρωπότητος, Παιδίον ἐγεννήθη ἡμῖν καὶ λύεται ἡ καταδίκη τοῦ Ἀδάμ.

Κατανόησε θεοπρεπῶς, τὴν ἐνανθρώπησίν Του!!!

Ὁ ἥλιος καὶ ἐν βορβόρῳ λάμπων καὶ διερχόμενος οὐ μολύνεται .

«Ἐπεσκέψατο ἡμᾶς, ἐξ ὕψους ὁ Σωτὴρ ἡμῶν, ἀνατολὴν ἀνατολῶν…». Οὐ φέρει τὸ μυστήριον ἔρευνα, Ὦ Βάθος ἀγαθότητος Θεοῦ. Δι᾽ὑπερβολὴν δωρεῶν ἀπιστοῦμεν εἰς τὸν Εὐεργέτην… Μάγοι καὶ ποιμένες προσκυνοῦσι καὶ οἱ χριστιανοὶ συζητοῦν, πῶς ἐν σαρκὶ ὁ Θεὸς… Σιγησάτω τὰ πέρατα, δοξαζέσθω τὰ πεπιστευμένα. Δόξᾳ τῇ μεγαλοσύνῃ Σου Κύριε… Ὑπεραγία Θεοτόκε πρέσβευε, τῷ ἐκ Σοῦ σαρκωθέντι σωθῆναι ἡμᾶς. ΧΡΙΣΤΟΣ ΓΕΝΝΑΤΑΙ ΔΟΞΑΣΑΤΕ…!!!

ΧΡΙΣΤΟΣ ΕΞ ΟΥΡΑΝΟΥ ΑΠΑΝΤΗΣΑΤΕ… Χριστὸς ἐπὶ γῆς **Ὑψώθητε**!

Ἐν τρόπῳ καὶ χαρᾷ ἀγαλλιᾶσθε. Τρόμῳ διὰ τὴν ἁμαρτίαν, χαρὰ διὰ τὴν ἐλπίδα. Χριστὸς ἐκ Παρθένου. Γυναῖκες παρθενεύετε, ἵνα Χριστοῦ μητέρες γένησθε… Ὁ λαός, ὁ καθήμενος, ἐν σκότει ἀγνοίας

εἶδε Φῶς ἐπιγνώσεως. Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ νὰ πάντα».

«Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον, ὁ καρπὸς αὐτοῦ. Ἔσται τὸ ὄνομα Αὐτοῦ, εὐλογημένον εἰς τὸν αἰῶνα, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα Αὐτοῦ, εὐλογημένον εἰς τὸν αἰῶνα, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ καὶ ἐνευλογηθήσονται ἐν Αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆ, πάντα τὰ ἔθνη μακαριοῦσιν Αὐτόν» (Ψαλμ. 71). (Καρπὸς Χριστοῦ = ἡ Ἐκκλησία ἡ ἐξ ἐθνῶν).

Ο ΑΣΑΡΚΟΣ ΣΑΡΚΟΥΤΑΙ…!!

«Ὁ ἀνιστάμενος ἀρχεῖν ἐθνῶν, ἐπ᾽ Αὐτῷ ἔθνη ἐλπιοῦσι» (Ἡσ. ΙΑ'10). (Ὁ Ἀναστὰς τριήμερος ἐκ νεκρῶν αὐτὸς ἐστὶν ἡ κεφαλὴ τῆς ἐκκλησίας).

Ο ΑΟΡΑΤΟΣ ΟΡΑΤΑΙ… Ὁ Λόγος παχύνεται, ὁ ἄναρχος ἄρχεται… Εἰς 131 Ψαλμ. λέγει« οὐ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, …… ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ , σκήνωμα τῷ Θεῷ … » (Σκήνωμα=τὸ σῶμα τὸ γεγεννημένον ἐν Βηθλεέμ, ἐκ Παρθένου. « Ἐκεῖ (εἰς Βηθλεέμ), ἐξανατελῶ κέρας τῷ Δαυῒδ…» (Κέρας ὁ Κ.Η.Ι.Χ. τὸ κατὰ σάρκα) Βηθλεέμ, ἑρμηνεύεται, «Οἶκος τοῦ ἄρτου». Λέγει ὁ Κύριος: «Ἐγὼ εἰμὶ, ὁ ἄρτος, ὁ ἐκ τοῦ Οὐρανοῦ καταβάς.»

Ο ΥΙΟΣ ΤΟΥ ΘΕΟΥ, ΥΙΟΣ ΑΝΘΡΩΠΟΥ ΓΙΝΕΤΑΙ…!!!

Ὁ Ἱερεμίας κηρύττει: Ἰδοὺ ἔρχονται ἡμέραι … καὶ ἀναστήσω τῷ Δαυῒδ Ἀνατολὴν δικαίαν… Πνεῦμα προσώπου ἡμῶν Χριστὸς Κύριος… ἐν τῇ σκιᾷ Αὐτοῦ ζησώμεθα.». Τοῦτο ἑοράζομεν σήμερον, ἐπιδημία Θεοῦ πρὸς ἀνθρώπους, ἵνα τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυσώμεθα… Ὥσπερ ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν Χριστῷ ζήσομεν… καὶ συσταυρούμενοι Χριστῷ καὶ συνθαπτώμενοι καὶ συν-ανιστάμενοι.

ΔΟΞΑ ΕΝ ΥΨΙΣΤΟΙΣ ΣΗΜΕΡΟΝ, ΤΩ ΕΝ ΣΠΗΛΑΙΩ ΤΕΧΘΕΝΤΙ!

Ἑορτάσωμεν μὴ πανηγυρικῶς, ἀλλὰ θεϊκῶς, μὴ κοσμικῶς ἀλλ᾽ ὑπερκοσμίως, μὴ τὰ ἡμέτερα, ἀλλὰ τὰ τοῦ Δεσπότου, μὴ τὰ τῆς ἀσθενείας, ἀλλὰ τὰ τῆς ἰατρείας. Μὴ στολίσωμεν οἰκίας καὶ σώματα μὴ χοροὺς καὶ χαρτοπαίγνια, ὕμνους σατανικούς, θεάματα, ἁμαρτίας καὶ ἀκρασία. Ἀκρασία πᾶν ἔργον περιττὸν καὶ ὑπὲρ τὴν χρείαν.

Ἐν λόγοις καὶ ὕμνοις Θεοῦ τρυφήσωμεν.

ΤΙΣ ΘΕΟΣ ΜΕΓΑΣ ΩΣ Ο ΘΕΟΣ ΗΜΩΝ!

Δεῦτε ἀγαλλιασώμεθα τὸ παρὸν μυστήριον ἐκδιηγούμενοι. Θεὸς ὢν ἀληθινός, ἄνθρωπος γίνεται διὰ φιλανθρωπίαν.

Ὢ! πανήγυρις ὑπέρξενος!

Εὐφραινέσθωσαν τὰ οὐράνια, τὰ ἐπίγεια καὶ καταχθόνια καὶ πάντα ἐν αὐτοῖς… Μέγα τὸ τῆς Θείας οἰκονομίας μυστήριον. Ὁ τοῦ Θεοῦ Λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ἡ ἀρχὴ τῆς ἀρχῆς, τὸ Φῶς ἐκ τοῦ Φωτός, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, σάρκα φορεῖ καὶ ψυχὴν νοεράν, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων. Καὶ πάντα γίνεται ἄνθρωπος, ἐκτὸς ἁμαρτίας. Ἓν ἐκ δύο ἐναντίων, σαρκὸς καὶ Πνεύματος, τὸ μὲν ἐθέωσε τὸ δὲ ἐθεώθη.

Ὢ! Τῆς Καινῆς καὶ Παραδόξου Μίξεως!

Ὁ πλουτίζων πτωχεύει τὴν ἐμὴν σάρκα, ἵνα ἐγὼ πλουτίσω τὴν αὐτοῦ Θεότητα. Μεταλαμβάνει τῆς σαρκός μου, ἵνα καὶ τὴν εἰκόνα σώσῃ καὶ τὴν σάρκα ἀθανατίσῃ. Ἦλθε ἐπὶ τὸ πλανώμενον, ὁ ΠΟΙΜΗΝ Ο ΚΑΛΟΣ, ὁ τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων… καὶ εὗρε τὸ πλανώμενον, ἐπὶ τῶν ὤμων ἀνέλαβεν καὶ ἐπανήγαγεν ἐπὶ τὴν ἄνω ζωήν.

Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ Αὐτοῦ.

Τῷ λύχνῳ, τῇ φωνῇ τῷ νυμφαγωγῷ (δηλαδὴ τὸν Πρόδρομον Ἰωάννην) ἀκολουθεῖ τὸ Φῶς τὸ ὑπέρλαμπρον -Λόγος-Νυμφίος.! Ἐκοπίασε, ἐπείνασε, ἐδίψησε, ἐδάκρυσε, ἔθρεψε πεινῶντας, ἐθεράπευσε δαιμονιζομένους καὶ ἀσθενεῖς, ἀνέστησε νεκρούς…… ἔπαθε σαρκί…… ἐσταυρώθη , ἀνέστη τριήμερος, ἀνελήφθη ἐν δόξῃ, ἀπέστειλε τὸ Πανάγιον Πνεῦμα!!!

«Ἄγω τὸν δοῦλον μου Ἀνατολήν… λέγει Κύριος Παντοκράτωρ: Ἰδοὺ ἀνήρ, ΑΝΑΤΟΛΗ ὄνομα αὐτῷ…» (Ζαχαρ. Στ'12).

«Φωτίζου, φωτίζου Ἱερουσαλήμ, ἥκει τὸ ΦΩΣ καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε… Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. τί ἐβόα Ὁ Πρόδρομος Ποιήσατε καρποὺς ἀξίους μετανοίας… γεννήματα ἐχιδνῶν, τὶς ὑπέδειξεν φυγεῖν τῆς μελλούσης ὀργῆς ἔρχεται ὁ ἰσχυρότερός μου (=ὁ Κ.Ἡ. Ἰ.Χ.)…

«Κύριος ὑψώσει ΚΕΡΑΣ Χριστοῦ αὐτοῦ» (κέρας=βασιλεία τοῦ Θεοῦ)… καὶ ἀναστήσω ἱερέαν πιστὸν… καὶ διελεύσεται ἐνώπιον ΧΡΙΣΤΟΥ μου, πάσας τὰς ἡμέρας» (Α'Βασ. 2, 35)

Ὢ ! Πόσαι πανηγύρεις ! Ὢ ! Τὸ κεφάλαιον πάντων τῶν μυστηρίων, ἡ ἐμὴ ἀνάπλασις καὶ τελείωσις καὶ ἐπάνοδος πρὸς τὸν πρῶτον Ἀδάμ.

«Κύριος ἐκπορεύσεται ἐκ τοῦ τόπου αὐτοῦ καὶ καταβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς. Ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ Κύριος ἐν Ἰσχύϊ… » (Μιχαίας Α, 3).

Μετὰ ἀγγέλων ὕμνησον καὶ χόρευσον, κοινὴ πανήγυρις ἐπουρανίων καὶ ἐπιγείων δυνάμεων! Διὰ πασῶν τῶν ἡλικιῶν καὶ δυνάμεων Χριστοῦ - ὡς μαθητὴς τοῦ Χριστοῦ - βάδιζε ἀμέμπτως !!! Ἂν φεύγῃ εἰς Αἴγυπτον Χριστός, ἀκολούθησον προθύμως… ἂν φραγελωθῇς καὶ τὰ λειπόμενα ζήτησον… γεῦσαι χολῆς. ὄξος ποτίσθητι, δέου ἀκάνθινον στέφανον, … περιβαλοῦ κοκκίνη χλαμύδα, δέξαι κάλαμον, … τέλος συσταυρώθητι, συντάφητι προθύμως, ἵνα συναναστηθῇς καὶ συνδοξασθῇς καὶ συμβασιλεύσῃς Αὐτῷ αἰωνίως. Ὁ Πρόδρομος Ἰωάννης ἐν τῇ κοιλίᾳ μητρός του, ἐσκίρτησε ἐν ἀγαλλιάσει προσκυνῶντας τὸν Χριστόν, ἡμεῖς δὲ σκιρτᾶν καὶ θαυμάζειν καὶ ἐκπλήττεσθαι τὸ μέγεθος τῆς οἰκονομίας, ὑπερβαῖνον πᾶσαν διάνοιαν. «Καὶ σὺ Βηλθεέμ, γῆ Ἰούδα… ἐκ σοῦ γὰρ μοι ἐξελεύσεται ΗΓΟΥΜΕΝΟΣ, ὅστις ποιμανεῖ τὸν λαόν μου Ἰσραήλ.» βοᾷ ὁ Προφήτης. Χριστὸς ἐν σπηλαίῳ !!! Πρὸς τὴν ὑψοποιὸν Ταπείνωσιν συγκατέλθωμεν ἵνα καὶ συνανυψωθῶμεν.

Χριστὸς ῥάκη σπαργανοῦται, ἵνα λυθῶμεν τῶν ἁμαρτιῶν καὶ ἐνδυθῶμεν τὴν θείαν αἴγλην.

Τὸ πῦρ τῆς θεότητος οὐκ ἔφλεξε νηδὺν τῆς Παρθένου!

Χαῖρε, ὅτι τέτοκας παιδίον, ὅπερ παρίστανται χίλιαι χιλιάδες ἀγγέλων, κατὰ τὸν Προφήτην Δανιήλ!

Χαῖρε, ὅτι γεγέννηκας βρέφος τὸν τεχνουργὸν τῶν βρεφῶν καὶ συνοχέα τῶν ὅλων!

Χαῖρε, ὅτι γεγέννηκας βρέφος καὶ Ἡρώδης θυμομαχῶν ταράττεται!

Χαῖρε, ὅτι γεγέννηκας βρέφος καὶ διὰ τοῦτο ὁ Παμμέγιστος ἱερεὺς Ζαχαρίας ὁ πατὴρ τοῦ Προδρόμου, μεταξὺ τοῦ ναοῦ θανατοῦται!

Χαῖρε, ὅτι γεγέννηκας βρέφος καὶ διὰ τοῦτο νεογεννῆ βέφη, μεληδὸν κατακόπτονται, τὸ βρέφος τοῦτο, τὸ λαξεῦσαν τὸν νόμον Μωϋσέως ἐν πλαξὶ καὶ ὑπὸ νόμον γενόμενον καὶ νὸμον ἐκπληροῦν…!!!

Χαῖρε, Κεχαριτωμένη, ἡ τεκοῦσα, τὸν πάντων ἁγίων Ἁγιώτατον Λόγον ὑπερκόσμιον, τὸν ἄκοσμον κόσμον κοσμήσαντα!! Χαῖρε, δι᾽ ἧς, ἡμῖν γεννᾶται ὁ αὐτογενέθλιος καὶ φύεται ὁ αὐτοφανὴς καὶ αὐξάνεται

ὁ τέλειος, πτωχεύει ὁ πλούσιος, νηπιάζει ὁ Ὕψιστος, βαστάζεται ὁ βαστάζων τὰ πάντα, ὁ ἀμήτωρ ἀπάτωρ γίνεται!! Χαῖρε ὦ!! Κυρία Θεοτόκε, δι᾿ ἧς, διῆλθεν ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Χαῖροις, μόνη Μήτηρ Θεοῦ ἡ τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων μεγαλοπρεπὴς καὶ μεγαλόφωτος εὔκλεια!! Χαῖροις μόνη Μήτηρ Θεοῦ, τὸ μόνον ὄντως ὄνομα ἀληθῶς πασιπόθητον. Χαῖροις, ὅτι διὰ σοῦ -καθὼς λέγει ὁ Σολομών «παῖς ἀγαθός ὤν, ἦλθον εἰς σῶμα ἀμίαντον» (Σ.Σολ Η'20). (Τίς πρὸ γεννήσεως ἦτο ἀγαθός ; καὶ τίς ἦλθε εἰς σῶμα ἀμίαντον; Περὶ τοῦ Θεανθρώπου ταῦτα ἐγράφησαν.)

Χαῖρε Νύμφη Ἀνύμφευτε ἡ προσκυνητὴ εἰς τοὺς αἰῶνας καὶ ἐπαινετὴ εἰς ἀπεράντους αἰῶνας ὑπὸ ἀγγέλων καὶ ἀνθρώπων ὁμοφώνως ἐν φόβῳ μεγαλυνομένη.

Ὁ Ἡσαΐας «Ἰδοὺ ἡ δάμαλις τέτοκε καὶ οὐ τέτοκε». Τοῦτο διὰ τὴν Θεοτόκον ἔχει γραφεῖ. Χαῖρε, ὅτι τὸν Χριστὸν τὸν Θεάνθρωπον ἀνάνδρως συνέλαβες καὶ ἀπόνως ἐκύησας. Ὁ Προφήτης Ἰεζεκιὴλ λέγει : « … Υἱὲ ἀνθρώπου ἡ πύλη αὕτη κεκλεισμένη ἔσται καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι᾿ αὐτῆς κ, ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται καὶ ἐξελεύσεται δι᾿ αὐτῆς καὶ ἔσται κεκλεισμένη». Χαῖρε καὶ πάλιν ἐρῶ, Χαῖρε Κεχαριτωμένη, ὅτι διὰ σοῦ ἡμεῖς ταπεινοὶ Χριστοῦ δευτέραν καὶ φωτοσωτήριον γέννησιν εὐσεβοπρεπῶς προσκυνοῦμεν, εἰς μίαν Ἁγίαν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν ἐπολιτογραφήθημεν, τὴν ψυχοσωτήριον καὶ φωτόμορφον πίστιν κατέχομεν,… τὸν πολυπροσκύνητον καὶ ἰαματοποιὸν προσκυνοῦμεν Σταυρόν. Χαῖρε, ὅτι διὰ σοῦ Θεοτόκε, τὸ τριφεγγὲς βαπτιζόμεθα Βάπτισμα καὶ τὰ Ἅγια Μυστήρια ἐν τῇ φρικτοτελῆ τραπέζῃ προσεγγίζειν τολμῶντες, μετέχομεν ἀληθινοῦ καὶ ἀθανάτου ἄρτου……

«Σίδηρος σίδηρον ὀξύνει». -κατὰ τὸν Σολομῶντα-Λόγοι δέ, θείων ὕμνων πρὸς Θεοτόκον, ψυχὰς στηρίζουν καὶ ἁγιάζουν. «Αὕτη ἡ Πύλη Κυρίου…» βοᾷ Δαυΐδ. Τί ποθεῖς εἰσελθὼν ἔσω τῆς πύλης ; τί εὗρες; τί θαυμάζεις; Χριστὸν λέγει εὗρον, τὴν οἰκονομίαν εἶδον, τὴν καινὴν χάριν, τὴν ξένην εὐεργεσίαν, τὸ ἔνδοξον πάθος, τὴν ἀπόρρητον μυσταγωγίαν!! Ὁ Χριστὸς Θύρα πρὸς τὸν Θεόν, διὰ φιλανθρωπίαν, θύρα καὶ ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδὲκ καὶ ὁ ἀμνός, ὁ αἴρων τὴν ἁμαρτίαν κόσμου. Χαῖρε Κεχαριτωμένη, δι᾿ ἧς οἱ φιλόχρυσοι γίνονται φιλόχριστοι, οἱ φιλάργυροι φιλάνθρωποι, οἱ φιλόπλουτοι γίνονται φιλόπτωχοι καὶ πολλοὶ πρότερον χρυσοφοροῦντες μελανοφοροῦν καὶ τριχοφοροῦν…… Ὦ Πανύμνητε Μήτηρ καταφυγὴ ἐγεννήθης ἡμῖν

μεσιτολογεῖς ὑπὲρ ἡμῶν τῶν πηλογενῶν πρὸς τὸν Υἱόν σου καὶ Θεόν σου καὶ Θεὸν ἡμῶν. Ἐν Βηθλεὲμ σήμερον, δεῦτε λάβωμεν πλοῦτον ἀφθόνως μεριζόμενον καὶ οὐδέποτε οὐδαμῶς δαπανώμενον. «Καινὸν τὸ θαῦμα καὶ θεοπρεπές, τῆς παρθένου τὴν κεκλεισμένην πύλην διοδεύει Κύριος». ... Σὲ γεραίρομεν Ἀειπάρθενε, πληθύνοντες τὴν ὑμνολογίαν, ὡς σὺ τὴν προστασίαν. ... Ἡσαΐα χόρευε, ἡ Παρθένος ἔσχε ἐν γαστρὶ καὶ ἔτεκε υἱόν, τὸν Ἐμμανουὴλ Θεόν τε καὶ ἄνθρωπον, Ἀνατολὴ ὄνομα αὐτῷ». Ὦ Δέσποινα, σὺ εἶσαι ἡ μυστικὴ Ἐσθαὸλ εἰς σέ, δύναμιν ἐκ Θεοῦ λαμβάνει.

(Ἐσθαὸλ, ἑρμηνεύεται, τόπος ὅπου μία γυναῖκα ἱκετεύει). Οἱ τῷ γλυκεῖ βέλει τρωθέντες Ἁγνή, τοῦ Ἀχράντου Τόκου σου, σοῦ τὸ κάλλος θαυμάζοντες, ἐπαξίως μεγαλύνομεν. Διὰ σοῦ ἐκπληροῦται ὁ λόγος τοῦ Μωϋσέως : «Προφήτην ὡς ἐμέ, ὑμῖν ἀναστήσει Κύριος... αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς, ὃς ἂν μὴ ἀκούσῃ τοῦ Προφήτου ἐκείνου ἐξολοθρευθήσεται.».

Ἔφριξε πᾶσα ἀκοὴ τὴν ἀπόρρητον Θεοῦ συγκατάβασιν...... Ἡ Ἐκκλησία, ὡς ἡ Εὔα δοξάζουσα τὸν Κύριον διὰ τὴν γέννησιν τοῦ Υἱοῦ της βοᾷ χαρμοσύνως: « Ἐκτησάμην ἄνθρωπον διὰ Θεοῦ, δήλ. τὸν Θεάνθρωπον Χριστόν».

« Ἀσπόρου συλλήψεως, ὁ τόκος ἀνερμήνευτος, μητρὸς ἀνάνδρου, ἄφθορος ἡ κύησις, Θεοῦ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις». Ὦ!! Ἄνασσα μητροπάρθενον κλέος! ἅπαν εὔλαλον στόμα οὐ δύναται ἀξίως σὲ δοξάζειν... Ἡ ἐκκλησία, ὡς ἡ Λεία κατὰ τὸν τοκετὸ τοῦ πρωτοτόκου Ρουβὴμ καυχωμένη ἀναφωνεῖ: «Ἰδοὺ εἷς υἱὸς» (οὕτω ἑρμηνεύεται ἡ λέξις κατὰ τὴν Ἑβραϊκὴν). Ἰδοὺ εἷς ΥΙΟΣ, Ὁ Μονογεννὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ὁ διὰ τὴν ὑμετέραν σωτηρίαν σήμερον ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου. Ἀγαλλιασώμεθα τῷ Κυρίῳ. Καταπλήττει μου τὸν νοῦν καὶ ἐξιστᾷ τὸν λογισμόν ἡ δόξα σου Θεοτόκε τοῖς πᾶσιν ἐφαπλουμένη πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν... Σὲ τὴν τὸν ἀχώρητον Λόγον, ἐν γαστρὶ χωρήσασα, τὴν πλατυτέραν τῶν οὐρανῶν ἐν ὕμνοις μεγαλύνομεν. Χαῖρε Νύμφη Ἀνύμφευτε, ἀλληλούϊα. Ὁ τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος ὤφθη ἐπὶ γῆς καὶ τοῖς ἀνθρώποις συνανεστράφη... Ὁ Ἰακὼβ κράζει: « Ὡς φοβερὸς ὁ τόπος οὗτος». Ὦ ἀπορρήτων ἀκουσμάτων!! Ὦ παραδόξων ἀποτελεσμάτων. Σὲ τὴν ὑπερένδοξον Νύμφην καὶ Παναγίαν Θεοτόκον ἐν δάκρυσι ἱκετεύομεν. Τί γλυκύτερον μέλιτος, τί ἰσχυρότερον λέοντος; Αὕτη ἡ ἀπόκρισις εἰς τὸ αἴνιγμα τοῦ Σαμψών, δι᾿ἡμᾶς δὲ καύχημα πρὸς τὸν ἐν σπηλαίῳ

τεχθέντα. Ἅγιος-Ἅγιος-Ἅγιος ὁ ὤν, ὁ ἦν καὶ ὁ ἐρχόμενος, ἀλληλούϊα. Ὑμνοῦμεν σὲ Ἄχραντε, ὅτι τὸν οὐράνιον στάχυν ἀνεβλάστησας, Χριστὸν τὸν Θεὸν ἡμῶν. Δόξα τῇ δόξῃ σου Δέσποινα. Πληροῦται τὸ στόμα ἡμῶν χαρᾶς καὶ εἰρήνης λέγοντας: Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς!!! Μετὰ τῆς προφήτιδος Δεβώρας βοήσωμεν τὸ ᾆσμα αὐτῆς: «Διαιρέσεις Ρουβήμ, μεγάλοι ἀκριβασμοὶ καρδίας» (ἀκριβασμοί=ἐντολαὶ Θεοῦ), γῆ ἐσείσθη καὶ οὐρανὸς ἐξετάσθη (=ἔσταξε δρόσον)» Ὦ ἡ οὐράνιος δρόσος, ὡς καὶ ἐπὶ πόκου τοῦ Γεδεών, τὴν θείαν σάρκωσιν προμηνύουσα.

«Μὴ ἐκθαμβῇ, ὦ Μῆτερ, καθορῶσα ὡς βρέφος, ὃν ἐκ γαστρὸς πρὸ ἑωσφόρου ὁ Πατὴρ τέτοκε»! Ἰωὴλ, ὁ μακαριώτατος κράζει: « Γῆ εὐφραίνου, ὅτι ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι σοι»! Γῆ τὴν Θεοτόκον λέγει. Ὦ Μῆτερ ἀπείρανδρε Παρθένε Θεοτόκε, ἡ δανείσασα σάρκα τῷ Λόγῳ χωρίον τοῦ ἀπείρου Πλαστουργοῦ σου, σὲ μεγαλύνομεν!! Χαῖρε νύμφη φαεινή, Μήτηρ τοῦ Ζωοδότου ! διὰ Σοῦ ὡράθη βροτοῖς Λόγος σεσαρκωμένος. Χαῖρε, ὅτι ἐβάστασας τὸν καθήμενον ἐπὶ τῶν χερουβείμ «Ἀλλότριον τῶν μητέρων ἡ παρθενία καὶ ξένον τοῖς παρθένοις ἡ παιδοποιΐα, ἐπὶ σοὶ Θεοτόκε ἀμφότερα ᾠκονομήθη». Ὑπεραγία Θεοτόκε σῷζε τοὺς σὲ μεγαλύνοντας. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη πᾶσα κτίσις ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ γένος… διὰ Σοῦ πανύμνητε, τὴν αἰωνίαν Λύτρωσιν εὑράμενοι ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρα σὲ μεγαλύνομεν!! Κυρίως Θεοτόκον σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε Ἁγνή». «Μυστικῶς εἶ, Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν»!! ΘΕΟΤΟΚΕ, Η ΕΛΠΙΣ ΠΑΝΤΩΝ ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ, σκέπε, φρούρει, φύλαττε τοὺς ἐλπίζοντας εἰς σέ. Ὄλβιον σπήλαιον, ἔκστηθι φρίξον ἰδοὺ ἐντὸς ὁ Ἀκατάληπτος……

ΔΟΞΑ ΤΗι ΕΝΔΟΞΩι ΚΑΙ ΦΡΙΚΤΗι ΣΟΥ ΟΙΚΟΝΟΜΙΑι ΚΥΡΙΕ!!

Ψυχαῖς καθαραῖς καὶ ἀρρυπώτοις χείλεσι, δεῦτε μεγαλύνωμεν τὴν ἀνκηλίδωτον καὶ ὑπέραγνον Μητέρα τοῦ Ἐμμανουήλ.

ΧΡΙΣΤΟΣ ΓΕΝΝΑΤΑΙ ΔΟΞΑΣΑΤΕ !!

Μέγα καὶ φρικτὸν τὸ μυστήριον ὑπάρχει. Ὅτι Θεὸς τοῖς ἀνθρώποις ὡμοιώθη ἁμαρτίαν μὴ εἰδὼς ὁ ἀνεύθυνος. Συγκαταβαίνων ὁ Σωτὴρ τῷ γένει τῶν ἀνθρώπων καταδέχεται σπαργάνων περιβολήν. Μέγας εἶ Κύριε καὶ θαυμαστὰ τὰ ἔργα σου καὶ οὐδεὶς λόγος ἱκανὸς πρὸς ὕμνον τῶν ὑπὲρ λόγων Μυστηρίων Σου… « Ἡ τὸν ἀχώρητον Θεόν, ἐν γαστρὶ χωρήσασα καὶ ΧΑΡΑΝ τῷ κόσμῳ κηύσασα, σὲ ὑμνοῦμεν Παρθένε!!

Σήμερον γεννᾶται! Ἐλευθέρα ἡ κτίσις γνωρίζεται, υἱοὶ δὲ φωτὸς οἱ πρὶν ἐσκοτισμένοι. Λαμπρᾷ καὶ παμφαῆ τὰ γενέθλια Χριστοῦ, ὑπογράφοντα τὸ μυστήριον τῆς ἀνακαινίσεως τοῦ μέλλοντος.

Γεννᾶται σήμερον Χριστός, ὁ ταῖς εὐλογίαις ἡμᾶς λαμπρύνων!! αὐτῷ βοῶμεν: «Κύριε Θεέ μου, φωτώνυμον ὕμνον ᾄσομαί σοι, ἐν τῇ ἁγία γεννήσει Σου, μυστικῶς ἀναγεννῶντι με καὶ πρὸς τὴν θείαν λαμπρότητα ἐπαγαγόντι « Ὦ Μεγαλόδωρε Κύριε! Δόξα τῇ φρικτῇ οἰκονομίᾳ Σου, ὑμνῶ τὴν ὑπὲρ νοῦν, διὰ σπλάχνα Λόγε συγκατάβασιν.»

« Ὕδωρ Ζωῆς ἐκ τοῦ σπηλαίου ἀντλήσατε καὶ πίστει στερεωθήσεσθε! ὁ Φωτισμός, ἡ λύσις τῶν δεινῶν ἐπεδήμησε! «Ἰησοῦς ἥκει λῦσαι τὸ κατάκριμα Ἀδὰμ τοῦ πρωτοπλάστου». ὦ! τῆς ὑπὲρ νοῦν, τοῦ Τόκου σου θαυμάτων, Νύμφη Πάναγνε, Μῆτερ εὐλογημένη, τί τὸ περὶ τοῦτο σεβάσμιον μυστήριον;; Χαῖρε θυγάτηρ τοῦ Ἀδὰμ καὶ τοῦ Ὑψίστου Μήτηρ, ἡ μόνη ἀπλανὴς γέφυρα τῶν πιστῶν. … ἀγλαόμορφε Κόρη παντευλόγητε, Βασίλισσα, σὲ τὴν φαεινὴν λαμπάδα, τὴν ἀρίζηλον δόξαν ἀνυμνοῦμεν.

Ξενίας Δεσποτικῆς καὶ ἀθανάτου τραπέζης, ἐν πενιχρῷ σπηλαίῳ, δεῦτε ἀπολαύσωμεν. «Νέον ἐξ Ἀδάμ, παιδίον φυράματος ἐτέχθη Υἱός, … κρατῶν ἐξουσίᾳ τῆς κτίσεως. «Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεοῦ καὶ Κύριος. σαρκωθεὶς ἐκ Παρθένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτίσαι, συναγαγεῖν τὰ ἐσκορπισμένα! Ἀπειρόγαμε Παρθένε χαῖρε!! ἐξέστη τὰ σύμπαντα ἐπὶ τῇ θείᾳ δόξῃ σου, ἀπορεῖ πᾶσα γλῶσσα εὐφημεῖν πρὸς ἀξίαν, ἰλιγγιᾷ καὶ ὑπερεκόσμιος νοῦς ὑμνεῖν σε Θεοτόκε, ὅμως ἀγαθὴ ὑπάρχουσα, τὸν ἔνθεον πόθον οἶδας, δέχου ἡμῶν τῶν ἁμαρτωλῶν ταῦτα τὰ πτωχὰ ἐγκώμια, ὡς ὁ Υἱός σου ἐδέχθη τότε τῆς χήρας τὸ δίλεπτον. Ἡ τὸ χαῖρε δι᾿ἀγγέλου δεξαμένη καὶ τεκοῦσα τὸ κτίστην τὸν ἴδιον Παρθένε σῶζε τοὺς σὲ μεγαλύνοντας. Κυρίως ΘΕΟΤΟΚΟΝ σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε Ἁγνή!

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς ὤφθη τοῖς ἀνθρώποις σωματικῶς… Χαῖρε ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα ! Ἀπειροπληθῆ ἐγκώμια ἐν τιμῇ ἀλληλοπροηγούμενα παραχωροῦσι θέσιν εἰς τὸ ᾀσματικὸν λόγιον: «Ἐγκαρδιώσας ἡμᾶς, ἀδελφή μου νύμφη ἐγκαρδιώσας»! Χαῖρε ἀδελφὴ ἡ τοῦ καλοῦ ἀδελφοῦ παρώνυμος καὶ πανέραστος, βρεφοτραφῆ γαλουχία μητροπρεπῶς φέρουσα!! Ἐκαρδίωσεν ἡμᾶς ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος τοὺς βαπτισθένας!! «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε» ἀλληλούϊα!!

Ὁ τρώγων τὸν Οὐράνιον Ἄρτον καὶ πίνων τὸ θεῖον Αἷμα ἀξίως· καρδιοῦται ὑπερλόγως μετὰ Παύλου ἀναφωνεῖ: «Ζῶ δὲ οὐκέτι ἐγώ, ζεῖ δὲ ἐν ἐμοὶ Χριστός»

Βλέπε τὴν Ἀκρίβεια τῆς Ἁγ. Γραφῆς, διὰ τὸν Ἀδὰμ χρησιμοποιεῖ τὴν λέξιν «πλάσις» διὰ τὴν Εὔα «οἰκοδόμησιν». «Ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ᾠκοδόμησεν αὐτῷ εἰς γυναῖκα· ἵνα ἀπ᾽αὐτῆς δὲ τῆς πλευρᾶς οἰκοδομηθῆναι τὴν Ἐκκλησίαν, ἐν τῷ νυχθῆναι αὐτοῦ τὴν πλευρὰν καὶ τὰ μυστήρια αἵματος καὶ ὕδατος ἐν ὑμῖν λύτρα γενέσθαι.

«Ὁ Κύριος ἐβασίλευσε, εὐπρέπειαν ἐνεδύσατο» ψάλλει Δαυῒδ - ἵνα δείξῃ τὴν εἴσοδον τοῦ Θεοῦ Λόγου ἀπὸ τῶν ἐπουρανίων εἰς τὸν κόσμον ἐνδυομένην εὐπρέπειαν, δηλ. τὴν Σάρκα τὴν γεγεννημένην ἀπὸ Παρθένου. Προστίθησι πάλι ὁ Δαυῒδ ἐκ δευτέρου τὸ : «ἐνεδύσατο Κύριος Δύναμιν καὶ περιεζώσατο» ἵνα δείξῃ τὸ πρῶτον ἔνδυμα ἀπὸ Μαρίας, τὴν δὲ δευτέρα ἔνδυσιν πάλι ἀπὸ τῆς ἀναστάσεως τῶν νεκρῶν.

Ὁ Κύριος ἐν τῷ Σταυρῷ ἀποθνήκει ἵνα συστήσῃ τὴν διαθήκην τοῦ θανάτου. Ἐν τῷ Σταυρῷ ἐθριάμβευσε ἀρχὰς καὶ ἐξουσίας, ἐν τῷ θανάτῳ κατέκρινε τὴν ἁμαρτίαν, ἐν τῷ ταφῆναι ἔθαψε τὴν ἀνομίαν καὶ κατελθὼν εἰς τὸν Ἅιδην ἔσωσε τοὺς ἐκεῖ πιστεύσαντας.

Ὁρᾶς τὴν διαθήκην τῆς ζωῆς ἐν δόξῃ· Λίθου ἐποκεκυλισμένου, πετρῶν ῥυγνημένων, μνημάτων ἀνοιχθέντων, γυναικῶν εὐαγγελιζομένων, εἰρήνης διδομένης, Πνεύματος Ἁγίου παρὰ Κυρίου τοῖς ἀποστόλοις διδομένου, Εὐαγγελίου φωτίσαντος τὴν Οἰκουμένην; ; ;

«Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα ὅτι Θεὸς ὤφθη τοῖς ἀνθρώποις σωματικως…».

« Ἐκεῖ (ἐν Βηθλεὲμ) εὑρέθη φρέαρ ἀνώρυκτον, οὗ πιεῖν Δαυῒδ ἐπεθύμησε ἐκεῖ Παρθένος τεκοῦσα Βρέφος, τὴν δίψαν ἔπαυσεν εὐθὺς» (οἶκος Μηνιαίου 25 Δεκεμβρίου).

Εἰς Βασιλειῶν γράφει:« ἀλλόφυλοι ἦσαν ἐν Βηθλεὲμ καὶ ἐπεθύμησε Δαυῒδ καὶ εἶπε: τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βηθλεὲμ ….., καὶ διέρρηξαν οἱ τρεῖς δυνατοὶ (ἥρωες) ἐν τῇ παρεμβολῇ ἀλλοφύλων καὶ ὑδρεύσαντο ὕδωρ… καὶ παρεγένοντο πρὸς Δαυῒδ καὶ οὐκ ἠθέλησε αὐτὸ πιεῖν καὶ ἔσπισε αὐτῷ τῷ Κυρίῳ καὶ εἶπεν: « Ἵλεως μοι, Κύριε, εἰ πίομαι αἷμα τῶν ἀνδρῶν τῶν πορευθέντων…» καὶ οὐκ ἠθέλησεν ποιεῖν αὐτό.».

Εἰς Α' Βασιλειῶν ἀναγράφεται ὅτι ὁ Σαμουὴλ ἐκάλεσε ὅλον τὸν λαὸν εἰς πόλιν Μασσηφὰ… ὑδρεύοντα ὕδωρ καὶ ἐξέχεαν ἐνώπιον Κυρίου ἐπὶ τὴν γῆν …ἐνήστευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ εἶπαν

ἡμαρτήκαμεν ἐνώπιον Κυρίου … Σαμουὴλ ἔλαβε ἄρνα… καὶ ἀνήνεγκε ὁλοκαυτώμασι … καὶ ἐνίκησαν τοὺς ἀλλοφύλους εἰς τὸν πόλεμον νίκην μεγάλην.

Ἑρμηνεύει ὁ Ἅγ. Κύριλλος Ἀλεξανδρείας: ὁ Σαμουὴλ ἐκ Πνεύματος Ἁγίου ἔγνω τὴν ἐνανθρώπησιν τοῦ Κ.ἡ.Ἰ.Χ. καὶ διὰ τῆς χύσεως τοῦ ὕδατος (ἀντλοῦντος τοῦ λαοῦ ἐκ φρεάτων) ἐπὶ τὴν γῆν (Σύμβολον ζωῆς τὸ ὕδωρ, σαρκὸς σύμβολον ἡ γῆ) ὁ τύπος τοῦ μεγάλου τούτου Μυστηρίου ἔσωσε τὸ λαό. Θεότης ἡ ζωοποιὸς καὶ ἐκ γῆς ἡ ἀνθρωπότης καὶ ἐν συνεχείᾳ διὰ τῆς θυσίας τοῦ ἀμνοῦ μυστικῶς προτυπώνει τὴν Σταυρικὴν θυσίαν τοῦ Κυρίου!! … Ἀναπέμψωμεν εὐχαριστηρίους ᾠδάς, ὅτι Ἀδὰμ ἀναπλάττεται καὶ Εὔα ἀνακαινίζεται καὶ ἡ ἀρὰ διαλύεται …χοροὺς πανδήμους συστησώμεθα. Τίς ἀξία Μήτηρ γενέσθαι Θεοῦ καὶ σάρκα δανεῖσαι τῷ πλουτούντι τὰ σύμπαντα;

Σὺ εἶ Θεοτόκε, τὸ ἐμὸν ἱλαστήριον καὶ προσφύγιον. Ἡ παραδόξως μὲν ἐκ στεῖρας γεωργηθεῖσα· παραδοξότερον δὲ τὸν στάχυν τῆς ζωῆς ἡμῖν καρποφορήσασα. Τοὺς σοὺς ὑμνητὰς τοῦ οὐρανίου Νυμφῶνος ἀξίωσον. ΑΜΗΝ.

Δεῦτε φιλέορτοι ἔτι καὶ ἔτι προσοχὴν εἰς τὰ προφητικὰ λόγια:

«Ἰούδα ἐπὶ τὰ ὄρη (Βηθλεέμ) οἱ πόδες τοῦ εὐαγελιζομένου Εἰρήνην, … ἑόρταζε τὰς ἑορτάς σου, σκόπευσον ΟΔΟΝ, ἄνδριζε τῇ ἰσχύϊ σφόδρα» (Ναοὺμ β',1)

Τὸ τάλαντον λαβόντες, τοῦτο πάσῃ θυσίᾳ καὶ δυνάμει πολύπλασιάσωμεν, μετανοήσωμεν δάκρυα ἐκχέοντες, ἵνα ἐκφύγωμεν τὸ πῦρ τῆς κολάσεως. Μὴ ἐκκαύσωμεν ὄρεξιν κενοδοξίας. Γενώμεθα δόκιμοι τραπεζῖται, σωφροσύνην δι᾽ἐγκρατείας καὶ Ὀρθοδόξου ὁμολογίας καὶ ταπεινῆς καρδίας περιζωσώμεθα. Τοῦτο φρονείσθω ἐν ἡμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦν, ὅτι δηλ. ἐχθροὺς ἡμᾶς ἠγάπησε, ἑαυτὸν ἐταπείνωσε καὶ ταπεινώσας ἑαυτὸν ἔσωσεν.

Ταῦτα προφητεύει ὁ Ἰακὼβ: «Ἀναπεσὼν ἐκοιμήθης ὡς λέων… οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς ἔσται ΠΡΟΣΔΟΚΙΑ ΕΘΝΩΝ». (ἀπόκειται, δηλ. σ᾽αὐτὸν ποὺ θὰ ἐκπληρωθοῦν οἱ προφητεῖες διὰ τὸν Θεάνθρωπον. Οὗτος, ὁ ἐν Βηθλεὲμ τεχθεὶς (λέγει Ἰακὼβ), «Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ καὶ τῇ ἕλικι τὸ ὑποζύγιον τῆς ὄνου… πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ…. χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ [2]γάλα».

---

[2] ἢ (ἐπίρρημα βεβαιωτικὸν)= ἀληθῶς βεβαίως .

Ἄμπελος = Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς , Ἕλιξ = ἡ διδασκαλία τῆς Ἁγίας Γραφῆς. Πῶλος = ἡ ἐκκλησία ἡ ἐξ Ἐθνῶν.. («Πλυνεῖ ἐν οἴνῳ» = τὸ πάθος τοῦ Σταυροῦ). Ὀφθαλμοὶ... ὀδόντες -διὰ τούτων τὸ Μυστήριον τῆς Θ. Μεταλήψεως φανερώνει. Ἄρτος καὶ οἶνος =ἡ Θεία Κοινωνία Γάλα = τὸ λαμπρὸν καὶ καθαρὸν τῆς θείας Τροφῆς.

«Ὁ δι' ἐμὲ κατ᾽ἐμε γεγονώς, ἅγιος εἰ Κύριε!!

ΕΚ ΤΗΣ ΠΑΡΘΕΝΟΥ ΑΝΕΒΛΑΣΤΗΣΑΣ Ο ΑΫΛΟΣ ΚΑΙ ΘΕΟΣ!

Χαῖροις Θεοῦ θεοφόρον κειμήλιον, ἡ σαρκὶ χωρήσασα τὸν μηδαμῶς χωρούμενον! Χαῖρε, ὅτι τέτοκας παιδίον, περὶ τοῦ ὁποὶου ὁ πατρόθεος Δαυΐδ ψάλλει: « ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας».

Δῶρα καὶ ἡμεῖς εἰς τὸ Θεῖον Βρέφος, κατὰ δύναμιν προσφέρωμεν, πίστιν, ἐλπίδα, ἀγάπην, σωφροσύνην, ἐλεημοσύνην, ἐξομολογούμενοι δακρύσωμεν τὰ οἰκεῖα κακὰ πενθοῦντες. Ἐκτενεῖς εὐχὰς προσφέροντες, μετὰ καθαροῦ συνειδότος προσέλθωμεν εἰς τὰ Φρικτὰ Μυστήρια!

(Ἵνα μὴ ἐπὶ πολὺ χρόνον ἐφιστάμενοι τῆς Θείας Κοινωνίας, θηριάλωτοι ὑπὸ τοῦ διαβόλου γενώμεθα).

«Ἐπιστράφητε υἱοὶ ἀφεστηκότες, λέγει Κύριος, νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ᾽ ἀκάνθαις... διορθώσατε τὰς ὁδοὺς ἡμῶν... θρηνήσατε καὶ κλαύσατε ». (Ἱερεμ.)

Ἐννόησον, ὦ ἄνθρωπε ποίας Τραπέζης ἐγγίσης... Μνημόνευε ὅτι γῆ εἶ καὶ σποδὸς! Μεταλαμβάνεις Σῶμα καὶ Αἷμα Χριστοῦ...

Ὦ Φάρμακον σωτήριον τῶν ἡμετέρων τραυμάτων!

Πλοῦτος ἐστὶν ἀνεξάντλητος, πρόξενος Οὐρανίου Βασιλείας! Βραχὺς ὁ παρὼν βίος, μὴ ῥαθυμῶμεν... «Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα τοῦ Κυρίου ἀμελῶς». Βιάσωμεν ἑαυτοὺς εἰς τὴν ἀδιάλειπτον εὐχήν, εἰς αὐτομεμψίαν, εἰς τὴν ὁδὸν Θεοτοκοδρομίας καὶ Θεοτοκοφιλίας. «Ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην» καὶ «Ὡς ἠγάπησα τὸν νόμον Σου Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν» - βοᾷ Δαθυΐδ.

Καὶ Σολωμών: «Ἐξεγείρου βορρᾶ καὶ ἔρχου Νότε,[3] διάπνευσον κῆπον μου, καὶ ῥευσάτωσαν ἀρώματα». (Βορρᾶς = ἡ Θεοτόκος, Νότος=ὁ Χριστός, κῆπος= ἡ Ὀρθοδοξία, Φυτά = οἱ ἅγ. μάρτυρες, πηγή = ἅγ.

---

[3] Ἐν τῷ Νότῳ (=ἐν Χριστῷ) οἱ σπείροντες δάκρυσιν ἐνθέοις, θεριοῦσι στάχυας, ἐν χαρᾷ ἀειζωΐας.

Βάπτισμα, φύλαξ =ὁ Τίμιος Σταυρός). Δαυῒδ πάλιν λέγει : «ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον». Προέλαβε ὁ χορὸν τῶν θανατωθέντων νηπίων ἐπινικίους ὕμνους.

Ταράττεται λίαν ὁ διάβολος καὶ Ἡρώδης καὶ ἀπὸ διετοῦς καὶ κάτω κατασφάζει. Νήπιοι γὰρ οἱ μὴ τῇ Ἁγίᾳ Τριάδι πιστεύσαντες. Διὰ τοῦτο ἡ Ραχήλ, ἡ ἐξ ἐθνῶν Ἐκκλησία τούτους πενθεῖ ὥστε ἡ φωνὴ της ἀκούγεται ἐν Ῥαμᾷ. Ῥαμὰ ἑρμηνεύεται ὑψηλὴ δηλ. ἡ ἄνω Ἱερουσαλὴμ παρὰ τῷ Ὑψίστῳ Θεῷ, ᾧ πρέπει πᾶσα δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων . Ἀμήν.

Δόξα τῇ Δόξῃ Σου Κύριε!

Βρέφος ὁρῶ ἐν Φάτνῃ, μητέρα τίκτουσαν καὶ μήτραν μὴ ἀνοίγουσαν. Σωτῆρα τικτόμενον! ὤ! Φάτνη ὡς ἐπουράνιος θρόνος!

Βοῦς καὶ ὄνος ὡς χερουβεὶμ ὁμοιάζοντα!

ὤ! Βρέφος γαλουχούμενον καὶ τρέφοντα τὰ πάντα!

Τρέμω τὸ θαῦμα, ἐξίσταμαι τὸ μυστήριον!

Μετὰ τοῦ Γαβριὴλ τολμῶ λέγειν: Χαῖρε Κεχαριτωμένη! Χαῖρε Νύμφη Ἀνύμφευτε, ἀλληλούϊα!

Χαῖρε τῆς ἀχωρήτου φύσεως εὐρύχωρον χωρίον!

Χαῖρε ἀδαπάνητε θησαυρέ!

Χαῖρε ξένον ἄκουσμα!!

Χαῖρε λαμπὰς κεκοσμημένη ἀρετῶν!!

Χαῖρε ἡ νοερὰ θάλασσα, τὸν Οὐράνιον ἔχουσα μαργαρίτην Χριστόν!

ὤ! Μυστήριον ἀληθῶς ἐπιγείου καὶ ἐπουρανίου, ὁρωμένου καὶ μὴ φαινομένου. Ὁ γεννηθὴς σήμερον Χριστὸς κρατούμενος, ὁρώμενος καὶ μὴ ὁρώμενος. ὁρώμενος κατὰ τὴν σάρκα, ἀόρατος κατὰ τὸ Πνεῦμα. Χριστὸς ἐγεννήθη!

Οὐρανὸς λαμπαδουχεῖται καὶ ἡ γῆ τὸν καρπὸν αὐτῆς ἐπὶ φάτνης βαστάζει. Ἐπληρώθη τότε τὸ γεγραμμένον: «Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε». Ἀλήθεια γὰρ λέγων τὸν Χριστὸν : « Ἐγὼ εἰμὶ ἡ ὁδὸς καὶ ἡ ἀλήθεια». Ἐκ γῆς δηλαδὴ ἐκ τῆς Παρθένου καὶ Θεοτόκου ἀνέτειλε κατὰ σάρκα ὁ Χριστός.

Ἡ Βηθλεὲμ ὑποδέχεται τὴν Μητρόπολιν τοῦ Θεοῦ δηλ. τὴν Ἁγίαν Παρθένον!

Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον. Οὐρανὸν τὸ σπήλαιον, θρόνον Χερουβικὸν τὴν Παρθένον, τὴν φάτνην χωρίον ἐν ᾧ ἀνεκλήθη ὁ

ἀχώρητος Χριστὸς ὁ Θεὸς ἡμῶν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Παντουργέτην!!!

Ὁ Θεὸς ἔκλινε οὐρανοὺς καὶ ἐκατέβη ἐπὶ γῆς, ξένην ὁδὸν βαδίσας ἐξ ἀγεωργήτου προῆλθε γαστρός. Ἦλθον καὶ προσεκύνησαν ἄνδρες τὸν ἐνανθρωπίσαντα, οἱ ποιμένες τὸν ποιμένα τὸν καλὸν… οἱ ἱερεῖς τὸν κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερέα γενόμενον ἀπὸ ἁλιέων θηρευτὰς ἀνθρώπων… οἱ τελῶναι τὸν ἀναδείξαντα τὸν εὐαγγελιστὴν ἀπὸ τελωνῶν… αἱ πόρναι καὶ πάντες οἱ ἁμαρτωλοὶ ἦλθον ἰδεῖν τὸν ἀμνὸν τοῦ Θεοῦ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου… μάγοι δῶρα φέροντες, ποιμένες εὐλογοῦντες, τελῶναι εὐαγγελιζόμενοι, πόρναι μυροφοροῦσαι, Σαμαρεῖτις διψῶσα πηγὴν ζωῆς…… Χορεύσομεν καὶ ἡμεῖς οὐ κιθάρα καὶ αὐλοὺς κρατοῦντες, ἀλλ᾽ἀντὶ μουσικῶν ὀργάνων τὰ τοῦ Χριστοῦ σπάργανα φέρων. Αὐτὰ τὰ σπάργανα μοι, ἐλπὶς, αὐτά μοι ζωή, αὐτά μοι σωτηρία αὐτά μοι, μουσικὰ ὄργανα.

Μὲ τὴν δύναμιν αὐτῶν λέγω: Δόξα ἐν Ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοξία.

Ἄνω μόνος ἐκ μόνου Μονογενής, κάτω μόνος ἐκ Παρθένου μόνης Μονογενὴς αὐτός. Τὴν τεκοῦσαν ὁρῶ, τὸν τεχθέντα βλέπω, τὸν δὲ τρόπον τῆς γεννήσεως οὐ κατανοῶ. Ὅπου βούλεται Θεὸς νικᾶται καὶ τάξεως ὅρος καὶ φύσις. Λαβὼν ὁ Λόγος τοῦ Θεοῦ τὸ σῶμα, ἁγιάζει αὐτό. Ἡ Ἰουδαία ἔτεκε καὶ ἡ οἰκουμένη αὐτὸν ὑπεδέξατο. Ἡ Συναγωγὴ ἔθρεψε καὶ ἡ ἐκκλησία ἐκαρπώσατο.

Ὁ Λόγος πάλαι ἐκ παρθένου γῆς τὸν Ἀδὰμ πλάσας, ἀπὸ δὲ τοῦ Ἀδὰμ ἄνευ γυναικὸς γυναῖκα μορφώσας. Ἵνα μὴ μέγα φρονήσῃ ὁ Ἀδάμ, ἄνευ γυναικὸς γυναῖκα βλαστήσας διὰ τοῦτο καὶ ἡ Παρθένος ἄνευ ἀνδρὸς ἄνδρα ἔτεκεν, ἵνα κοινῷ τοῦ θαύματος τὸ ὁμότιμον τῆς φύσεως δείξῃ.

Σήμερον ἡ Παρθένος τίκτει τὸν Σωτῆρα ἔνδον τοῦ σπηλαίου. Δεῦτε πανηγυρίσωμεν. Ξένος γὰρ ὁ τρόπος τῆς ἑορτῆς, ἐπειδὴ καὶ παράδοξος ὁ λόγος τῆς γεννήσεως.

Σήμερον πᾶσα κτίσις, ἀγάλλεται καὶ χαίρει, ὅτι Χριστὸς ἐτχθη, ἐκ τῆς Παρθένου κόρης! Σήμερον ἡ κατάρα ἠφανίσθη, ἡ πλάνη ἀπηλάθη, ἡ ἀλήθεια ἐπανῆλθε καὶ ὁ λόγος τῆς εὐσεβείας πανταχοῦ διεπάτη.

Ἡ πολιτεία τῶν ἄνω, ἐφυτεύθη ἐν τῇ γῇ

Ἄγγελοι μετὰ ἀνθρώπων κοινωνοῦσι καὶ ἄνθρωποι μετ᾽ἀγγέλων διαλέγονται, ὁ προφήτης Ἡσαΐας λέγει: «Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ἰσραὴλ τρίτος ἐν τοῖς Ἀσσυρίοις καὶ ἐν τοῖς Αἰγυπτίοις».

Τί λέγεις, ὦ Ἰουδαῖε; ὁ πρῶτος τρίτος γέγονας; Ναὶ ! Ἀσσύριοι πρῶτοι διὰ τῶν μάγων προσεκύνησαν. Αἴγυπτος ἐδέχθη τὸν Σωτῆρα φεύγοντα τὴν ἐπιβουλὴν τοῦ Ἡρώδου. Ἰσραηλῖται τρίτοι, διὰ τῶν ἀποστόλων αὐτὸν ἔγνωσαν.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς Παρθένου, Θεὸν σαρκὶ τεχθέντα!! Βλέπεις πλοῦτον ἐν πενίᾳ πολλῇ; Πῶς πλούσιος ὢν δι᾿ἡμᾶς ἐπτώχευσεν;

Οὔτε κλίνην, οὔτε στρωμνὴν εἶχε...!! Ἐν φάτνῃ κεῖται καὶ τὴν Οἰκουμένην σαλεύει. Πάρεστι καὶ Μαρία Παρθένος οὖσα καὶ Μήτηρ· παρευρίσκεται καὶ Ἰωσὴφ ὀνομαζόμενος πατὴρ ... Γυνὴ καὶ ἀνήρ, ὀνόματα ἔρημα συζυγίας, «Ὕμνους ὑφαίνειν, συντόνως τεθηγμένους δηλ. μὲ προθυμίαν ψυχῆς, ἐργῶδες ἐστὶν (=δυσκολοκατόρθωτον) ἀλλὰ καὶ Μήτηρ σθένος, ὅση πέφυκεν ἡ προαίρεσις δίδου (=ὅση χωρᾷ ἡ προαίρεσίς μας, χάρισέ μας δύναμι, νὰ σὲ ὑμνοῦμε...).

Εἴπωμεν μετὰ Δαυῒδ: «εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου»... «... Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν»... " «Αὕτη ἡ ἡμέρα ἥν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθωμεν ἐν αὐτῇ». Ἴδε τοῦ ἀληθινοῦ φωτὸς τὴν παρουσίαν, τοῦ καταφωτίζοντος ταῖς εὐαγγελικαῖς ἀκτίσι πᾶσαν τὴν οἰκουμένην!!

Ἐπὶ τῶν ἐσχάτων ἡμερῶν παραγίνεται ὁ Θεὸς τε οὐκ ἦν ὁ ἐκζητῶν τὸν Θεόν», ὅτε «πάντες ἐξέκλινα» ... ὅτε ἐπλεόνασε ἡ ἀνομία, τότε ἐπεφάνη ἡ χάρις τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις!!!

Ὢ! τοῦ θαύματος! Ἡ παρθένος μήτηρ γίνεται καὶ διαμένει παρθένος... Τοῦτο ἐκεῖνος ὁ μέγας Μωϋσῆς ὁρῶν τὸ πῦρ ἐπὶ τῆς βάτου ἔλεγε: «Διαβὰς ὄψομαι τὸ μέγα τοῦτο ὅραμα» οὐ τοπικὴν κίνησιν δηλῶν... ἀλλὰ τὴν παροδικὴν τοῦ χρόνου διάβασιν ἐκεῖ θάμνος οὐ καίεται οὕτω καὶ ἐνταῦθα ἡ Παρθένος καὶ τίκτει τὸ φῶς τὸ ἀληθινὸν καὶ οὐ φθείρεται. Ἐπὶ γῆς Εἰρήνη!!

Ἡ πρότερον κατηραμένη γῆ, ἡ γόνιμος ἀκανθῶν, ἡ ἐξορία τῶν καταδίκων αὕτη εἰρήνη δέχεται!

...«Δύναμις Ὑψίστου ἐπισκιάσει σοι,» Ταῦτα ὁ ἀρχάγελος πρὸς τὴν Παρθένον Μαρίαν... ὁ Ἀπόστολος Παῦλος λέγει ὅτι ἡ τοῦ Θεοῦ σοφία καὶ δύναμις εἶναι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Μεγάλυνον ψυχή μου τὸν ἐν τῷ σπηλαίῳ τεχθέντα Βασιλέα!

Νῦν ἀνοίγεται -καθὼς λέγει Δαυῒδ -ἡ πύλη τῆς Δικαιοσύνης.

Δι᾿ἀνθρώπους θάνατος, καὶ δι᾿Ἀνθρώπου ἡ σωτηρία!

Ὁ Ἀδὰμ εἰς ἁμαρτία ἔπεσε · ὁ δεύτερος Ἀδὰμ τὸν πεπτωκότα ἀνέστησε. Ὡς ἀγαθός, τὸν ἀποστάτην ἄνθρωπον ἠγάπησεν. Ὡς σοφὸς,

τὸν τρόπον τῆς ἐπανόδου τῶν δεδουλωμένων ἐφεῦρε. Ὡς δίκαιος, ἑαυτὸν δέδωκεν ἀντὶ τῶν κεκρατημένων ἀντάλαγμα. Ὡς δυνατός, οὐκ ἐκρατήθη εἰς Ἅδην, οὐδὲ ἡ σάρξ Αὐτοῦ εἶδε διαφθορὰν. Ὁ πάσης ἀπαθείας Βασιλεὺς ἐν τῷ ἡμετέρῳ ῥύπῳ γίνεται· ὁ δὲ ῥῦπος τῆς καθαρότητος οὐ προσάπτεται, καθὼς λέγει τὸ Εὐαγγέλιον ὅτι τὸ Φῶς ἐν τῇ σκοτίᾳ ἔλαμψεν, ἡ δὲ σκοτίᾳ αὐτὸ οὐ κατέβαλεν. Τὸ θνητὸν ὑπὸ τῆς ζωῆς καταπίνεται. Τὸ κατεφθαρμένον τῷ ἀφθάρτῳ συνδιασώζεται.

Ἡ φθορὰ τῆς ἀφθαρσίας οὐ προσάπτεται. Διὰ ταῦτα θεοπρεπῶς δοξολογεῖ ὁ Χριστοτερπὴς λαὸς καὶ βοᾷ: Ἀκατάληπτε καὶ Ἀνερμήνευτε Κύριε, Δόξα Σοι.

Τίς οὗτος ὁ ἐν τῇ φάτνῃ καὶ σπηλαίῳ; Κύριος κραταιὸς καὶ δυνατός! Ἐδεήθημεν Θεοῦ σαρκουμένου καὶ νερουμένου, ἵνα ζήσωμεν, συνανέστημεν, ἐπειδὴ συνεκρώθημεν συνεδοξάσθημεν ἐπειδὴ συνανέστημεν.

Ὦ! Λόγε Θεοῦ, καὶ φῶς καὶ ζωὴ καὶ σοφία καὶ δύναμις!

Χαίρω γὰρ πᾶσί σου τοῖς ὀνόμασι!

Ὦ! νοῦ τοῦ μεγάλου γέννημα, καὶ ὅρμημα, καὶ ἐκσφράγισμα!

Ὦ! Λόγε νοούμενε καὶ ἄνθρωπε θεωρούμενε!

Ὁ Ὢν καὶ προὼν καὶ διαμένων εἰς τοὺς αἰώνας, λάμψον εἰς ἡμᾶς φωτοδότα τὸ ἀνέσπερον Φῶς. Ἀληθῶς γὰρ ἄξιόν ἐστιν καὶ δίκαιον Σὲ αἰνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σὲ δοξάζειν τὸν μόνον ἀληθινὸν Θεόν, τὸν φιλάνθρωπον, τὸν ἄφραστον, τὸν ἀόρατον, τὸν ἀχώρητον, τὸν ἄναρχον, τὸν αἰώνιον, τὸν ἄχρονον, τὸν ἀμέτρητον, τὸν ἄτρεπτον, τὸν ἀπερινόητον, τὸν ποιητὴν τῶν ὅλων, τὸν λυτρωτὴν τῶν ἁπάντων, τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν. ὤ! χάριτος ἀφράστου! ὁ Κ. ἡ. Ἰ.Χ. ἀγωνίζεται καγὼ τὰ βραβεία βαστάζω, Αὐτὸς τῷ διαβόλῳ μάχεται, καγὼ τὴν νίκην κατὰ διαβόλου ἐπιγράφομαι καὶ ἀθλητὴν στεφανοῦμαι. «Σχολάσατε καὶ γνῶτε…» (Ψαλμὸς). Ἀκούεις, ὅτι γνῶσιν Θεοῦ λαμβάνει ὁ σχολάζων ταῖς θείας Γραφαῖς ἐν ἀληθινῇ καρδίᾳ; Σχόλαζε τῇ ἀναγνώσει, ταῖς προσευχαῖς, ὅπως φωτισθῇ ἡ διάνοιά σου, συνομιλῶν τῷ Ἁγίῳ Πνεύματι διὰ τῶν Γραφῶν. ὤ! χάριτος ἀφράστου!

«Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ» (Ψαλμ.)

Σήμερον οὗτος ὁ Χριστὸς γεννᾶται! ἐν Βηθλεὲμ γενόμενος, ἡ κεφαλὴ τῆς Νέας Ἱερουσαλὴμ καὶ Νέας Σιὼν δηλ. τῆς Ἐκκλησίας Ὡσαννὰ (ὢ σῶσον) ὁ ἐπιφανεὶς Θεὸς ἡμῶν, δόξα Σοι.

Τὸ θεῖον Βρέφος ἐν φάτνῃ πέριξ αὐτοῦ βοῦς καὶ ὄνος εἰς τύπον τῶν δύο λαῶν, τῶν πιστευσάντων Ἰουδαίων καὶ τῶν ἐξ ἐθνῶν.

Ὦ! Δέσποτα, πατήρ, ἀδελφός, Μήτηρ, τροφή, χαρά, ζωή, φῶς, ἔνδυμα, Νυμφίος, φίλος γίνεσαι πτωχεύων δι᾿ἐμέ !

Ἡμεῖς τί δῶρον κατάλληλον ὡς οἱ Μάγοι προσφέρομεν;

Πίστιν ὀρθὴν καὶ συνείδησιν! (κατὰ τὸν Ἅγ. Γρηγόριον Νύσσης) … καὶ ὁ ἅγ. Ἀναστάσιος ὁ Σιναΐτης λέγει ὅτι «ἀληθὴς Χριστιανός ἐστιν, οἶκος Θεοῦ ἔμψυχος συνιστάμενος ἐξ ὀρθῶν δογμάτων καὶ ἔργων εὐσεβείας».

«Κλαίω καὶ κατανύσομαι ὅταν τὸ Φῶς σου λάμψῃ καὶ τέρπομαι καὶ χαίρομαι ὅταν τὸν κατανοήσω, τὴν ἐκ τοῦ Θεοῦ δοθεῖσαν μοι κατάστασιν καὶ δόξαν καὶ ὅτε ἄρξομαι θρηνεῖν, ὡς ἔπλασας, τότε, ὁρᾶται μοι καὶ βλέπει με ὁ καθορῶν τὰ πάντα. Θαυμάζων καταπλήττομαι κάλλους τὴν εὐμορφίαν, … λογιζόμενόν μου, Αὐτὸς εὑρίσκεται ἐντός μου, ἔνδον ἐν τῇ ταλαίνῃ μου καρδίᾳ ἀπαστράπτων, καὶ ἐμφοροῦμαι τῆς αὐτοῦ ἀγάπης καὶ τοῦ κάλλους καὶ ἡδονῆς καὶ γλυκασμοῦ ἐμπίπλαμαι τοῦ θείου.

Μεταλαμβάνω τοῦ Φωτός, μετέχω καὶ τῆς δόξης, καὶ λάμπει μου τὸ πρόσωπον, ὡς καὶ τοῦ ποθητοῦ μου, καὶ ἅπαντα τὰ μέλη μου, γίνονται φωτοφόρα.

Ὡραίων ὡραιότερος τότε ἀποτελοῦμαι.

Πλουσίων πλουσιώτερος καὶ δυνατῶν ἁπάντων ὑπάρχω δυνατώτερος……

Εὐχαριστῶ σοι Κύριε πανοικτίρμων, ὁ κατελθὼν ἐπὶ τῆς γῆς, καὶ σαρκωθεὶς Θεός μου, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν, καὶ εἰς τοὺς αἰώνας . Ἀμήν (Ἅγ. Συμεὼν Νέου Θεολόγου).

(Ἡ παροῦσα ἀνθολόγησις τῶν κειμένων ἐγένετο παρὰ Ἀλυπίου Μοναχοῦ Καψάλας Ἁγίου Ὄρους)